ὃ βούλομαι γὰρ ἡδὺ καὶ διὰ στόμα
πτηνοῖσι μύθοις ἀδαπάνως τέρψαι φρένα.
ΗΛ. ἐγώ, κασίγνητ᾽, αὐτὸ τοῦτ᾽ ἔχειν δοκῶ,
σωτηρίαν σοὶ τῷδέ τ᾽ ἐκ τρίτων τ᾽ ἐμοί.
ΟΡ. θεοῦ λέγεις πρόνοιαν. ἀλλὰ ποῦ τόδε;
ἐπεὶ τὸ συνετόν γ᾽ οἶδα σῇ ψυχῇ παρόν.
ΗΛ. ἄκουε δή νυν· καὶ σὺ δεῦρο νοῦν ἔχε.
ΟΡ. λέγ᾽· ὡς τὸ μέλλειν ἀγάθ᾽ ἔχει τιν᾽ ἡδονήν.
ΗΛ. Ἑλένης κάτοισθα θυγατέρ᾽; εἰδότ᾽ ἠρόμην.
ΟΡ. οἶδ᾽, ἣν ἔθρεψεν Ἑρμιόνην μήτηρ ἐμή.
ΗΛ. αὕτη βέβηκε πρὸς Κλυταιμνήστρας τάφον.
ΟΡ. τί χρῆμα δράσουσ᾽; ὑποτίθης τίν᾽ ἐλπίδα;
ΗΛ. χοὰς κατασπείσουσ᾽ ὑπὲρ μητρὸς τάφῳ.
ΟΡ. καὶ δὴ τί μοι τοῦτ᾽ εἶπας εἰς σωτηρίαν;
ΗΛ. συλλάβεθ᾽ ὅμηρον τήνδ᾽, ὅταν στείχῃ πάλιν.
ΟΡ. τίνος τόδ᾽ εἶπας φάρμακον τρισσοῖς φίλοις;
ΗΛ. Ἑλένης θανούσης, ἤν τι Μενέλεώς σε δρᾷ
ἢ τόνδε κἀμέ· πᾶν γὰρ ἓν φίλον τόδε·
λέγ᾽ ὡς φονεύσεις Ἑρμιόνην· ξίφος δὲ χρὴ
δέρῃ πρὸς αὐτῇ παρθένου σπάσαντ᾽ ἔχειν.
κἂν μέν σε σῴζῃ μὴ θανεῖν χρῄζων κόρην
Μενέλαος, Ἑλένης πτῶμ᾽ ἰδὼν ἐν αἵματι,
μέθες πεπᾶσθαι πατρὶ παρθένου δέμας·
ἢν δ᾽ ὀξυθύμου μὴ κρατῶν φρονήματος
κτείνῃ σε, καὶ σὺ σφάζε παρθένου δέρην.
καί νιν δοκῶ, τὸ πρῶτον ἢν πολὺς παρῇ,
χρόνῳ μαλάξειν σπλάγχνον· οὔτε γὰρ θρασὺς
οὔτ᾽ ἄλκιμος πέφυκε. τήνδ᾽ ἡμῖν ἔχω
σωτηρίας ἔπαλξιν. εἴρηται λόγος.
ΟΡ. ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη,
τὸ σῶμα δ᾽ ἐν γυναιξὶ θηλείαις πρέπον,
ὡς ἀξία ζῆν μᾶλλον ἢ θανεῖν ἔφυς.
Πυλάδη, τοιαύτης ἆρ᾽ ἁμαρτήσει τάλας

---

1176. *φρένας* Bc *C* 1178. *τε τρίτον τ᾽ ἐμοί C* 1187. *τάφῳ* EF *τάφου* ceteri. 1188. 1190. *εἶπες C* 1192. *πᾶσι C* 1196. *μενέλεως* libri.